www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΘΕΩΝΑΝ, ΑΡΧΙΕΠΙΣΚΟΠΟΝ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

**(οὗ ἡ μνήμη τῇ δ΄ Ἀπριλίου)**

Ἐποιήθη
ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

**2005**

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



## ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΑΡΧΗΝ ΘΕΩΝΑΝ, ΑΡΧΙΕΠΙΣΚΟΠΟΝ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

***

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπεν τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολεθρεύσεις τοὺς ἐχθρούς μου καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

*Ἦχος δ΄ Ὁ Ὑψωθείς.*

Τῷ θείῳ ἔρωτι τρωθεὶς τὴν καρδίαν,
τὸν τῆς ἀσκήσεως σταυρὸν πάτερ ἦρας,
προθύμως ἐν τῷ Ἄθωνι, παμμάκαρ Θεωνᾶ·
μύστης δὲ γενόμενος ,
οὐρανίων πραγμάτων
τούτοις καθωδήγησας πρὸς νομὰς ζωηφόρους,
Θεσσαλονίκης ποίμνην ἱερὰν,
καὶ νῦν προστάτης
τιμώντων σε δέδειξαι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τὶς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων,
τίς δὲ διεφύλαξεν,
ἕως νῦν ἐλευθέρους,
οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**Εἶτα ὁ κανὼν, οὗ ἡ ἀκροστιχίς:**
*«Θεῷ, Θεωνᾶ, σύναψον ἡμᾶς σὲ ἀνυμνοῦντας. Ἀ(θανάσιος)».*

*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.*

Θεῷ παριστάμενος, Θεωνᾶ,
Ὃν ὤνιον μόνον ἐπεπόθησας ἐν τῇ γῇ,
μὴ παύσῃ ἀεὶ καθικετεύειν,
ὑπὲρ τῶν ὅσοι πιστῶς σε γεραίρομεν.

Ἐν θείᾳ τρυτάνῃ τῶν λογισμῶν,
ὁδοὺς τὰς τοῦ βίου,
ἐμβαλὼν τὴν ἀσκητικήν,
προείλου πορείαν ἐν τῷ Ἄθῳ,
ὃν, Θεωνᾶ, ταῖς εὐχαῖς σου εὐλόγησον.

Ὠνήσας τὴν χάριν παρὰ Θεοῦ,
ἀσκήσει μεγίστῃ,
ὥς τις ἔμπορος, Θεωνᾶ,
αὐτὴν δίδου κλῆρον τοῖς τιμῶσι,
τὴν θαυμαστὴν πολιτείαν τοῦ βίου σου.

*Θεοτοκίον*

Θεὸν συλλαβοῦσα ἐν σῇ γαστρί,
ἐγένου, Παρθένε,
θεία κλίμαξ πρὸς οὐρανούς,
ἡμῶν τῶν ἀθλίων καὶ λυπούντων,
ταῖς ἁμαρτίαις Υἱόν σου φιλάνθρωπον.

*Ὠιδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἐν νυκτὶ καὶ ἡμέρᾳ,
τὸν Ἰησοῦν ἴχνευες,
νοῦν ἐπισυνάγων καρδίᾳ,
καθαρωτάτῃ σου,

ὅθεν ἐπέτυχες,
ὦ Θεωνᾶ, μνήμην ἔχειν,
Τούτου ἀδιάλειπτον,
ἣν ἡμῖν δώρησαι.

Ὡς χριστόγραπτος ὤφθης,
ἐπιστολή, Ἅγιε,
ἥνπερ ἀναγνοὺς ὑπερθέως,
σεπτὸς Ἰάκωβος,
σοὶ ἀπεκάλυψε,
τῶν μυστηρίων τὰ βάθη,
ὧν μετόχους ποίησον,
τοὺς αἰτουμένους σε.

Νίκην θείαν νικήσας,
ὦ Θεωνᾶ ἅγιε,
κατὰ διαβόλου καὶ κόσμου,
ταύτης ἀξίωσον,
καὶ τοὺς θαυμάζοντας,
σὴν θαυμαστὴν πολιτείαν,
καὶ αὐτὴν ὡς πρότυπον,
ἔχοντας ἄριστον.

*Θεοτοκίον*

Ἁγνοτάτην εὑρών σε
περιστερὰν Κύριος,
ἑαυτοῦ Μητέρα γενέσθαι,
σὲ κατηξίωσε,
καὶ τοὺς ἁγνεύοντας,
χάριν Αὐτοῦ ἀγαπῶσαν,
ἐν οἷς Μῆτερ σύνταξον,
κἀμὲ φιλόαγνον.

Διάσωσον,
ὦ Θεωνᾶ θεοφόρε,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἀπὸ πάσης ἐπιβουλῆς τοὺς τιμῶντάς σε,
καὶ λύτρωσαι σεπταῖς εὐχαῖς,
πειρασμῶν ἀντιπάλου.

Ἐπίβλεψον,
ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Τηρήσας σαὐτὸν ὡς τίμιον ἀνάθημα,
φθορᾶς οὐδαμῶς,
ἐγεύσω μετὰ θάνατον·
διὸ πίστει τρέχοντες τῷ τιμίῳ λειψάνῳ σου,
εὑρίσκομεν, ὦ Θεωνᾶ,
τοῦ Πνεύματος θείαν παράκλησιν.

*Ὠιδὴ δ΄. Εἰσακήκοα, Κύριε.*

Στολισθεὶς ἱερώτατε,
τῆς ἱερωσύνης θείῳ χαρίσματι,
ἱερεῖς τοὺς σοὶ προσπίπτοντας,
δεῖξον θείου Πνεύματος κειμήλια.

Ὑπερβὰς ὅρους φύσεως,
ἐν τῇ σῇ ἀσκήσει ὡς θεῖος ἄγγελος,
Θεωνᾶ, τὸν βίον ἤνυσας,
ὅθεν καὶ ἡμῶν εὐλόγει ἄσκησιν.

Νοῦν ποιήσας πανάγιον,
οἴκημα Δεσπότου ἠγαπημένου σου,
διὰ τῆς εὐχῆς ἣν χάρισαι,
Θεωνᾶ, ὡς δῶρον τοῖς αἰτοῦσί σε.

*Θεοτοκίον*

Ἁγιώτατον τέμενος,
οὖσα, Παναγία, κἀμὲ ἀνάδειξον,
ἐκ φθορᾶς δοχεῖον Πνεύματος,
πάσης ἁμαρτίας με καθαίρουσα.

*Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ψυχικοὺς ἡμῶν ἄνοιξον,
ὀφθαλμοὺς τοῦ βλέπειν, Πάτερ, τὰ σφάλματα,
ἐν οἷς πίπτομεν ἑκάστοτε,
καὶ φωτὸς Κυρίου μακρυνόμεθα.

Ὅταν ὕπνος ἐπέρχηται,
ὁ τῆς ἀμελείας, ψυχῆς ὁ θάνατος,
Θεωνᾶ, ἡμᾶς ἐξέγειρον,
πατρικαῖς δεήσεσιν πρὸς Κύριον.

Νοσημάτων ἀπάλλαξον,
θείᾳ μεσιτείᾳ σου πρὸς τὸν Εὔσπλαγχνον,
Θεωνᾶ, ψυχῆς καί σώματος,
ὡς λαβὼν θαυμάτων χάριν ἄνωθεν.

*Θεοτοκίον*

Ἡλιόμορφε Ἄνασσα,
ἡ τὸ φῶς τοῦ κόσμου ἀποκυήσασα,
τὴν ψυχήν μου καταφώτισον,
ταῖς τοῦ Ἰησοῦ θείαις ἐλλάμψεσι.

*Ὠιδὴ ϛ΄. Τὴν δέησιν.*

Μεγάλων σε, χαρισμάτων Κύριος,
κατηξίωσε εὑρὼν πιστὸν δοῦλον,
ὦ Θεωνᾶ,

ἔτι πλέον παρέσχε,
θαυματουργίας ἐν βίῳ τὴν δύναμιν,
εἰς ἣν κἀγὼ ἀποσκοπῶν,
ἐκζητῶ πατρικήν σου ἐπίσκεψιν.

Ἀνάστησον,
τὴν ψυχὴν πεσοῦσάν μου,
Θεωνᾶ ὡς τὴν Μονὴν ἀθληφόρου,
ἐπιμελῶς,
ἐκ τῶν βάθρων ἐγείρας,
τῆς ὁσιότητος ἔδειξας σκήνωμα,
πηγὴν ἰάσεων δὲ νῦν,
τῷ ἀφθάρτῳ δεικνύεις λειψάνῳ σου

Συνάγαγε,
τὸν ὡς πῶλον ἄτακτον,
Θεωνᾶ, νοῦν συνεχῶς μου σκιρτῶντα,
καὶ τῷ δεσμῷ.
ἀενάου ἐννοίας,
τῶν ἀγαθῶν τοῦ Κυρίου κατάδησον,
Οὗ μέλος πέλω ἱερόν,
δωρεᾷ τοῦ ἁγίου Βαπτίσματος.

*Θεοτοκίον*

Σεμνότητος,
καὶ ἁγνείας πάντερπνον,
δεῖξον οἶκόν με Σεμνή Θεοτόκε,
καὶ ὥσπερ σύ,
συλλαβοῦσα τὸν Λόγον,
κἀμὲ ἀξίωσον τοῦτον ἐν στέρνοις μου,
κρατεῖν ὡς μόνον θησαυρόν,
καὶ γεννᾶν ἀρετὰς τέκνα ἄμωμα.

Διάσωσον, ὦ Θεωνᾶ θεοφόρε,
ἀπὸ πάσης ἐπιβουλῆς τοὺς τιμῶντάς σε,

καὶ λύτρωσαι σεπταῖς εὐχαῖς,
πειρασμῶν ἀντιπάλου.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως,
ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,
ὡς ἔχουσα,
μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Τῆς ζωῆς ἐν Χριστῷ θεῖον πρότυπον,
ἱερὲ Θεωνᾶ σε γινώσκοντες,
καὶ ποιμένα,
Θεσσαλονίκης μέγαν καὶ σεπτόν,
θερμῶς,
τὰς σὰς πατρικὰς,
πρὸς τὸν Φιλάνθρωπον Θεόν,
προσευχάς ἐξαιτούμεθα·
ὅπως τοῦ διαβόλου,
φύγωμεν τὰς παγίδας,
καὶ Βασιλείας οὐρανῶν,
κληρονόμοι γενώμεθα.

Προκείμενον. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσσονται.
Στίχος. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ*

**ΕΥΑΓΓΕΛΙΟΝ**
*Ἐκ τοῦ κατὰ Ματθαῖον(5,14-19)*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη, οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον ἀλλ᾿ ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσιν τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσιν τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Μὴ νομίσητε

ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι ἀλλὰ πληρῶσαι. Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου ἕως ἂν πάντα γένηται· ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὃς δ᾽ ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

*Δόξα Πατρί.*

Ταῖς τοῦ Ἱεράρχου.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

*Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.*

Στίχ. *Ἐλέησόν με ὁ Θεός..*

Θεωνᾶ τρισόλβιε,
τοῦ Ὄρους Ἄθωνος κλέος,
τῆς Θεσσαλονίκης σε,
ποιμενάρχην τίμιον
Θεὸς ἔθετο·
δωρεαῖς τιμήσας σε,
Πνεύματος Ἁγίου,
ἐν ζωῇ καὶ μετὰ θάνατον,
ἄφθορον ἔδειξε,
σῶμά σου εἰς πεῖσμα τῆς φύσεως,
ᾧπερ πιστῶς προσπίπτοντες,
σὲ ἐπικαλούμεθα ἅπαντες·
δεῖξον ἡμᾶς οἴκους,
λαμπροὺς τοῦ γλυκυτάτου τοῦ Ἰησοῦ,

καὶ εὐαγγέλια ἔμψυχα,
πατρικαῖς πρεσβείαις σου.

*Ὠιδὴ ζʹ. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ἐν νυκτὶ καὶ ἡμέρᾳ,
πολεμούμενον πάτερ ἐλθὲ ἐνίσχυσον,
καὶ νίκην μοι παράσχου,
κατὰ τοῦ διαβόλου,
ἵνα χαίρων κραυγάζω σοι·
χαίροις κλεινὲ Θεωνᾶ,
εἰκὼν καλοῦ ποιμένος.

Ἀναρίθμητα ἔχων,
τῇ ἀθλίᾳ ψυχῇ μου πάθη καὶ τραύματα,
ποθῶν δὲ ἐν Κυρίῳ,
τελέσαι μου τὸν βίον,
Θεωνᾶ ἐξαιτοῦμαί σου,
εἰρήνην δὸς τὴν Χριστοῦ,
ἐμοὶ ἀνειρηνεύτῳ.

Νοερὰν ἐργασίαν,
καὶ ποθῶ καὶ οὐδόλως ἰσχύω Ἅγιε,
τελέσαι ὡς ἐμπρέπει,
ὡς νήπιος ὁ τάλας,
διαχύσει φερόμενος,
διὸ βοήθει μοι σύ,
ὡς μύστης ἡσυχίας.

*Θεοτοκίον*

Ὑπερβᾶσα τοὺς ὅρους,
Θεοτόκε τῆς φύσεως Μήτηρ γέγονας,
τοῦ κτίσαντος τὸν κόσμον,
καὶ φύσιν τῶν ἀνθρώπων,
ἐκ φθορᾶς ἀναπλάσαντα,

Ὃν ἐξιλέου ἀεί,
ἐμοὶ παρακαλῶ σε.

*Ὠιδὴ η'. Τὸν βασιλέα.*

Μονὰς τὰς ἄνω,
καταλαβὼν μὴ ἐλλίπῃς,
Θεωνᾶ, μνημονεύειν τοὺς εἰσέτι,
ἐν κοιλάδι ταύτῃ,
βιοῦντας τοῦ κλαυθμῶνος.

Νῦν ἔχων χάριν,
θαυματουργεῖν θεοφόρε,
Θεωνᾶ τῶν ψυχῶν καὶ τῶν σωμάτων,
δίωκε τὰ πάθη,
τῶν σὲ ἐξαιτουμένων.

Οὐρανοδρόμους,
ὦ Θεωνᾶ, δεῖξον ὅσοι,
πολιτείαν θαυμάζουσι καὶ βίον,
καὶ ἐπικαλοῦνται,
εὐχὰς τὰς πατρικάς σου.

*Θεοτοκίον*

Ὕδωρ δακρύων,
τῶν καθαιρόντων Παρθένε,
ἁμαρτίας παράσχου μοι ὡς δῶρον,
πράξεσιν ἀτόποις,
λυποῦντι τὸν Υἱόν σου.

*Ὠιδὴ θ'. Κυρίως Θεοτόκον.*

Νοός μου τὰς κινήσεις,
Θεωνᾶ θεόφρον,
πρὸς τὸν Σωτῆρα



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

εὐχαῖς σου κατεύθυνον,
ἵνα τῆς ἄνω Πατρίδος,
κάλλη φαντάζωμαι.

Τυχὼν τῆς ἀφθαρσίας,
θείου σου λειψάνου,
ἀπὸ φθορᾶς με ἀμόλυντον τήρησον,
ὦ Θεωνᾶ θεοφόρε,
σὲ ἐξαιτούμενον.

Ἁγίασον, ὦ Πάτερ,
τοὺς θαυμάζοντάς σου,
τὴν ἱερὰν πολιτείαν καὶ πλήρωσον,
πνευματικῶν καρπωμάτων,
ἀνευφημοῦντάς σε.

Σωμάτων ἀσθενείας,
καὶ ψυχῶν τὰ πάθη,
σαῖς προσευχαῖς ἡμῶν πόῤῥω ἐξόρισον,
ὦ Θεωνᾶ, ὅπως πόθῳ,
σὲ ἐκμιμώμεθα.

*Θεοτοκίον*

Ἀμόλυντε Παρθένε,
ὕψωσον τὰς χεῖρας,
σὺν Θεωνᾶ πρὸς Φιλάνθρωπον Κύριον,
καὶ οὐρανόθεν τὴν χάριν,
κόσμῳ κατάξατε.

*Μεγαλυνάρια*

Μέγας ἐν τῷ Ἄθῳ ἀναδειχθείς,
καὶ Θεσσαλονίκης,
εἶτα μέγας ποιμὴν ὀφθείς,
νῦν δὲ Παραδείσῳ,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

συνὼν χοροῖς Ἁγίων,
ὦ Θεωνᾶ, μὴ παύσῃ,
ἡμῖν εὐχόμενος.

Χαίροις ἡσυχίας ἐντρυφητά,
καὶ ποιμεναρχίας,
τύπος ἄριστος, Θεωνᾶ·
χαίροις καὶ παράσχου,
ἡμῖν τοῖς ὑμνηταῖς σου,
θεώσεως τὴν χάριν,
εὐχαῖς ἁγίαις σου.

Ὥσπερ σὺ ἠγάπησας τὸν Χριστόν,
Θεωνᾶ παμμάκαρ,
καταξίωσον καὶ ἡμᾶς,
κόσμον ἀρνηθῆναι,
καὶ ἡδονὰς τοῦ βίου,
ἵνα Αὐτὸν καὶ μόνον,
ἔχωμεν μέλημα.

Σκέπασον ἀγάπῃ τῇ πατρικῇ,
τοὺς σωνυνυμοῦντας,
σοὶ φιλότεκνε Θεωνᾶ·
τῆς ἱερωσύνης,
τὴν χάριν ἐνισχύων,
ὅπως Χριστῷ φανῶμεν,
ἐν πᾶσιν ἄμεμπτοι.

Τῆς Ἀναστασίας σεπτὴν Μονήν,
πάτερ ἀναστήσας,
καὶ ποιμάνας θεοφιλῶς,
νῦν δὲ τὸ σὸν σκῆνος,
τὸ ἄφθαρτον πλουτοῦσαν,
φύλαττε ἐκ παντοίων,
ἐχθροῦ κακώσεων.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι Πάντες,
μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν,
εἰς τὸ σωθῆναι ἡμᾶς.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*

*Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε.*

Πάτερ θεοφόρε Θεωνᾶ,
τῆς Θεσσαλονίκης ὑπάρξας ποιμὴν χριστόψυχος,
καὶ σοφὸς διδάσκαλος τῶν μυστικῶν ἐννοιῶν,
πατρικῶς ἡμῖν χάρισαι,
πταισμάτων τὴν γνῶσιν,
καὶ παθῶν τὴν κάθαρσιν,
ὅπως ὀψώμεθα,
φῶς τῆς Βασιλείας Κυρίου,
σὺν χοροῖς ἁπάντων Ἁγίων,
ἐν τῷ Παραδείσῳ ἔνθα ἵστασαι.

*Δέσποινα πρόσδεξαι.*

*Τὴν πᾶσαν ἐλπίδα μου.*

*Δι᾽ εὐχῶν.*

## *Στίχοι*

*Θεόν, Θεωνᾶ, εὐχαῖς σου ἐξιλέου,*
*τυχεῖν καὶ ἡμᾶς θεώσεως, ἣν εὗρες.*